οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γιγνώσκον τὸ βρέφος ὑφ᾽ ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον ὅτου δεῖται· ἀλλ᾽ αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ τὰ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται.
6 Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ, ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ δ᾽ ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν
7 βέλτιστοι. ¶ Πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· Ἀλλά τοι εἰ καὶ ταῦτα πάντα πεποίηκε καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. ¶ Καὶ ὁ Σωκράτης, Πότερα δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός; ¶ Ἐγὼ μὲν οἶμαι, ἔφη, τῆς μητρὸς τῆς γε τοιαύτης. ¶ Ἤδη

γιγνώσκον τὸ βρ.] Nominat. consequentiae: nisi ex antecedentibus τρέφει intelligere malis. *Ern.*

εὖ πάσχει] Sic recte in Paris., Steph. et ap. Stob. Sed in edd. vett. est συμπάσχει.

οὐδὲ σημ.] Ernestus recepit Hindeburgii emendationem οὔτε σημ. Sed non audeo tentare vulgatum, cum alibi οὔτε et οὐδὲ copulentur: vt Cyrop. II, 2, 15: IV, 5, 27: de Venat. XII, 20. Cf. Doruill. ad Charit. p. 721.

αὐτὴ στοχ.] Pro αὕτη cum Ern. recepi Stobaei lectionem, vt dudum Hindeburgius legendum existimauit, qui ait, sic melius *matris curam et diligentiam* opponi *infantis imbecillitati*.

τὰ κεχαρισμένα] Articulum reuocaui ex Stobaeo.

νύκτας] Ap. Stob., in marg. Steph. est νυκτὸς, quod expressit etiam Bessario. Atque idem reperitur infra §. 8. et est in Vatic. I. Florent. A.

τίνα] Ap. Stob. et in cod. Brodaei est εἴ τινα. vulgatum reddidit Bessario.

§. 6. ἃ μὲν ἂν] Edd. vett. et Paris. omittunt ἂν, et mox in ed. Paris. est ἔχουσιν pro ἔχωσιν. Sed Stob. confirmat Stephanianam.

ἃ δ᾽ ἂν] Edd. vett. ἀλλ᾽ ἂν, sed Paris. et Stob. comprobant Steph.

εἶναι] Omittit Stobaeus.

τοῦτον] Iunt. τοῦτο, perperam.

αὐτοῖς γένωνται ὡς δ.] In marg. Steph. αὐτοῖς ἀγαθοὶ γένωνται, καὶ ὡς δ. Sed Stob. et Bessario recte tuentur vulgatum.

§. 7. ἔφη] Stob. εἶπεν, et Vatic. I.

εἰ καὶ ταῦτα] Ex MS. I recepi καὶ cum Strothio, commendante Ernesto et vsu Xenophonteo suadente. Vatic. I εἰ πάντα ταῦτα.

τῆς μητρὸς] Abest τῆς ap. Stob.

τῆς γε τοιαύτης] γε h. l. non abundat: *matris, quae quidem huiusce-*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/126 gefördert von der Deutschen Forschungsgemeinschaft DFG